24 Αυγούστου 2016

# Προσευχή για τους ασθενείς, εις τον Άγιο Λουκά Αρχιεπίσκοπο Κριμαίας τον Ιατρό, τον θαυματουργό

[Ορθοδοξία και Ορθοπραξία](#) / [Ορθόδοξη πίστη](#)




Προσευχή για τους ασθενείς, εις τον Άγιο Λουκά Αρχιεπίσκοπο Κριμαίας τον Ιατρό, τον θαυματουργό

# ΕΥΧΗ ΕΙΣ ΑΣΘΕΝΟΥΝΤΑ

Ἅγιε Ἱεράρχα, ὁμολογητά, διδάσκαλε τῆς ἀληθείας καί ἀνάργυρε ἰατρέ Λουκᾶ, σοί κλίνομεν τά γόνατα τῆς ψυχῆς καί τοῦ σώματος καί προσπίπτοντες τοῖς τιμίοις καί ἰαματικοῖς λειψάνοις σου, σέ παρακαλοῦμεν, ὡς τά τέκνα τούς πατέρας αὐτῶν. Εἰσάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν, τίμιε πάτερ, καί προσάγαγε τήν δέησιν ἡμῶν τῷ ἐλεήμονι καί φιλανθρώπῳ Θεῷ, ὡς ἑστώς ἐνώπιον αὐτοῦ μετά πάντων τῶν ἁγίων. Πιστεύομεν ὅτι ἀγαπᾷς ἡμᾶς διά τῆς αὐτῆς ἀγάπης ἥν ἠγάπησας τούς ἀδελφούς σου κατά τήν ἐν τῷ κόσμῳ βιοτήν σου.

Τήν τέχνην τῶν ἰατρῶν μετιών, τῶν ἀσθενούντων τά ἀρρωστήματα, τῇ ἀρωγῇ τῆς χάριτος, πλειστάκις ἐθεράπευσας. Μετά δέ τήν σεπτήν σου κοίμησιν, τά σά χαριτόβρυτα λείψανα, ὁ τῶν ὅλων Δεσπότης, πηγήν ἰατρείας ἀνέδειξεν. Ποικίλας γάρ ἰῶνται ἀσθενείας καί δύναμιν δωροῦνται τοῖς εὐλαβῶς ταῦτα ἀσπαζομένοις καί αἰτουμένοις τήν θείαν πρεσβείαν σου.

Διό αἰτοῦμεν σε καί θερμῶς παρακαλοῦμεν σε, τόν τήν χάριν τῆς ἰατρείας κομισάμενον· τόν ἀσθενοῦντα καί δεινῶς χειμαζόμενον ἀδελφόν ἡμῶν (....) ἐπίσκεψαι καί θεράπευσον ἐκ τῆς συνεχούσης αὐτόν ἀσθενείας.

Πάντιμε καί ἁγιώτατε πάτερ Λουκᾶ, ἐλπίς ἀρραγής τῶν ἀσθενούντων καί κεκμηκότων, μή ἐπιλάθου δωρήσασθαι τῷ ἀδελφῷ ἡμῶν (....) τήν ἴασιν καί πᾶσιν ἡμῖν τά εὐφρόσυνα.

Ἵνα καί ἡμεῖς σύν σοί δοξάζωμεν τόν Πατέρα καί τόν Υἱόν καί τό Ἅγιον Πνεῦμα, τήν μίαν θεότητά τε καί βασιλείαν, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Αμήν.